θεόν, εἰ παρὰ καλλιχόροισι παγαῖς
λαμπάδα θεωρὸν εἰκάδων
ὄψεται ἐννύχιος ἄυπνος ὤν,
ὅτε καὶ Διὸς ἀστερωπὸς
ἀνεχόρευσεν αἰθήρ,
χορεύει δὲ σελάνα
καὶ πεντήκοντα κόραι
Νηρέος, αἳ κατὰ πόντον
ἀενάων τε ποταμῶν
δίνας χορευόμεναι,
τὰν χρυσοστέφανον κόραν
καὶ ματέρα σεμνάν·
ἵν' ἐλπίζει βασιλεύσειν
ἄλλων πόνον εἰσπεσὼν
ὁ Φοίβειος ἀλάτας.
ὁρᾶθ' ὅσοι δυσκελάδοισιν antistr.
κατὰ μοῦσαν ἰόντες ἀείδεθ' ὕμνοις
ἁμέτερα λέχεα καὶ γάμους
Κύπριδος ἀθεμίτους ἀνοσίους,
ὅσον εὐσεβίᾳ κρατοῦμεν
ἄδικον ἄροτον ἀνδρῶν.
παλίμφαμος ἀοιδὰ
καὶ μοῦσ' εἰς ἄνδρας ἴτω
δυσκέλαδος ἀμφὶ λέκτρων.
δείκνυσι γὰρ ὁ Διὸς ἐκ
παίδων ἀμνημοσύναν,
οὐ κοινὰν τεκέων τύχαν
οἴκοισι φυτεύσας
δεσποίνᾳ· πρὸς δ' Ἀφροδίταν
ἄλλαν θέμενος χάριν

---

1075. *παρά B περί C* 1081. *κόραι*] Heathius, *κοῦραι* libri. 1085. *χρυσοστέφανον*] Elmsleyus, *χρυσεοστέφανον* libri. 1088. *ἄλλων*] Brodaeus, *εἰσπεσών*] Heathius, *ἄλλον πόνον τ' εἰσπεσεῖν* libri. 1090. *δυσκελάδοις B* 1091. *ὕμνοισιν B* 1093. *ἀθεμίτους B ἀθέμιτας C* 1094. *εὐσεβείᾳ* libri. 1095. *ἄροτον*] Barnesius, *ἄροτρον* libri. 1096. *παλίμφαμος*] Stephanus et Brodaeus, *παλίμφαος* libri.

1097. *μοῦσ' εἰς*] Canterus, *μούσιος* libri. *ἴτω*] Duportus, *ἴστω* libri.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG